## 70. THE SENDING FORTH OF THE APOSTLES (Matt-Lk Identicals)

| Matt 9:35–10:4 | Luke 9:1 |
|---|---|
| *Καὶ περιῆγεν ὁ Ἰησοῦς* | |
| *τὰς πόλεις πάσας* | |
| *καὶ τὰς κώμας,* | |
| *διδάσκων* | |
| *ἐν ταῖς συναγωγαῖς αὐτῶν* | |
| *καὶ κηρύσσων τὸ εὐαγγέλιον* | |
| *τῆς βασιλείας* | |
| *καὶ θεραπεύων πᾶσαν νόσον* | |
| *καὶ πᾶσαν μαλακίαν.* | |
| *36 Ἰδὼν δὲ τοὺς ὄχλους* | |
| *ἐσπλαγχνίσθη περὶ αὐτῶν ὅτι* | |
| *ἦσαν ἐσκυλμένοι καὶ ἐρριμμένοι* | |
| *ὡσεὶ πρόβατα μὴ ἔχοντα* | |
| *ποιμένα.* | |
| *37 τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ,* | |
| *Ὁ μὲν θερισμὸς πολύς,* | |
| *οἱ δὲ ἐργάται ὀλίγοι·* | |
| *38 δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ* | |
| *ὅπως ἐκβάλῃ ἐργάτας* | |
| *εἰς τὸν θερισμὸν αὐτοῦ.* | |
| *1 Καὶ προσκαλεσάμενος* | *Συγκαλεσάμενος δὲ* |
| *τοὺς δώδεκα μαθητὰς αὐτοῦ* | *τοὺς δώδεκα* |
| | |
| *ἔδωκεν αὐτοῖς* | *ἔδωκεν αὐτοῖς δύναμιν καὶ* |
| *ἐξουσίαν* | *ἐξουσίαν* |
| *πνευμάτων ἀκαθάρτων* | *ἐπὶ πάντα τὰ δαιμόνια* |
| *ὥστε ἐκβάλλειν αὐτὰ* | |
| *καὶ θεραπεύειν πᾶσαν νόσον* | *καὶ νόσους θεραπεύειν,* |
| *καὶ πᾶσαν μαλακίαν.* | |
| *2 Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, καὶ Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, 3 Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Μαθθαῖος ὁ τελώνης, Ἰάκωβος ὁ τοῦ Ἁλφαίου καὶ Θαδδαῖος, 4 Σίμων ὁ Καναναῖος καὶ Ἰούδας ὁ Ἰσκαριώτης ὁ καὶ παραδοὺς αὐτόν.* | |

155 total words with 7 identicals = 5%